eul_wid: gta-ab

*Ἀξιόνικος ὁ Κωμικός* · Axionicus the Comic Poet

# Fragments on Feasting and Folly

*Ἀποσπάσματα περὶ Εὐωχίας καὶ Μωρίας*

**Period:** *Κλασική* Classical
**Dialect:** *Ἀττική* Attic (com, frg)
**Domain:** *Κωμῳδία* Comedy
**Format:** *Ἔμμετρος* Verse

book 1.1 Ὁ Πυθόδηλος οὑτοσὶ ὁ Βαλλίων
book 1.2 προσέρχετ’ ἐπικαλούμενος, μεθύουσά τ’ ἐξόπισθεν ἡ σοφωτάτη ἀποτυμπανισχὰς κατὰ πόδας
book 1.3 πορεύεται.
book 2.1 Οἶνος οὐκ ἔνεστι αὐτοῖς
book 2.2 πρὸς ἑταίρους
book 2.3 πρόφασιν ἐπὶ κῶμόν
book 2.4 τινας, ὅπερ
book 2.5 ποιεῖν εἴωθε Γρυλλίων ἀεί.
book 1.1 Ἄλλον δ’ ἰχθὺν μεγέθει πίσυνόν
book 1.2 τινα
book 1.3 τοῖσδε τόποις ἥκει κομίσας γλαῦκός
book 1.4 τις ἐν πόντῳ γαλεοὺς[ln_5]σῖτον ὀψοφάγων καὶ λίχνων ἀνδρῶν ἀγάπημα φέρων κατὰ τῶν ὤμων. τίνα τῷδ’ ἐνέπω τὴν
book 1.5 σκευασίαν; πότερον
book 1.6 χλωρῷ τρίμματι βρέξας, ἢ τῆς ἀγρίας ἅλμης πάσμασι[ln_10]σῶμα λιπάνας
book 1.7 πυρὶ παμφλέκτῳ παραδώσω; ἔφα
book 1.8 τις ὡς ἅλμῃ θερμῇ τοῦτο φάγοι γ’ ἐφθὸν ἀνὴρ Μοσχίων φίλαυλος. βοᾷ δ’ ὄνειδος ἴδιον, ὦ Καλαίδη·
book 1.1 [ln_15]σὺ μὲν ἀμφὶ σῦκα καὶ ἀμφὶ τάριχ’ ἀγάλλει, τοῦ δ’ ἐν ἅλμῃ παρεόντος οὐ γεύει
book 1.2 χαρίεντος ὄψου.
book 1 Γυναικὶ δὴ πίστευε μὴ πίνειν ὕδωρ.
book 1.1 Ὅτε
book 1.2 τοῦ παρασιτεῖν
book 1.3 πρῶτον ἠράσθην μετὰ Φιλοξένου τῆς
book 1.4 Πτερνοκοπίδος νέος ἔτ’ ὤν, πληγὰς ὑπέμενον κονδύλων καὶ τρυβλίων ὀστῶν

book 1.5 τε τὸ μέγεθος

book 1.6 τοσαύτας ὥστε με[ln_5]ἐνίοτε

book 1.7 τοὐλάχιστον ὀκτὼ τραύματα ἔχειν· ἐλυσιτέλει γάρ· ἥττων εἰμὶ γὰρ τῆς ἡδονῆς. ἔπειτα καὶ τρόπον

book 1.8 τινὰ τὸ πρᾶγμά μοι λυσιτελὲς εἶναι νενόμικα. οἷον φίλερίς τίς ἐστι καὶ μάχεταί τί μοι·[ln_10]μετεβαλόμην

book 1.9 πρὸς

book 1.10 τοῦτον, ὅσα τ’ εἴρηκέ με κακῶς ὁμολογῶν εὐθέως οὐ βλάπτομαι. πονηρὸς ὤν

book 1.11 τε χρηστὸς εἶναί φησί τις, ἐγκωμιάζων

book 1.12 τοῦτον ἀπέλαβον χάριν. γλαύκου βεβρωκὼς τέμαχος ἑφθὸν τήμερον[ln_15]αὔριον ἕωλον

book 1.13 τοῦτ’ ἔχων οὐκ ἄχθομαι.

book 1 τοιοῦτος ὁ τρόπος ἐστὶν ἡ φύσις τέ μου.

book 2.1 Ζωμὸν

book 2.2 ποιῶ θερμὸν ἰχθὺν ἐπαναπλάττων, ἡμίβρωτα λείψανα

book 2.3 συντιθείς, οἴονται ἄνω ἔντερ’ ἁλὶ καὶ σιλφίῳ σφενδονῶν, ἀλλᾶντα τέμνω, παραφέρω

book 2.4 χορδῆς τόμον,[ln_5]ῥύγχος εἰς ὄξος

book 2.5 πιέζων, ὥστε πάντας ὁμολογεῖν τῶν γάμων κρείττω γεγονέναι τὴν ἕωλον ἡμέραν.

book 3 Τρύβλια, χύτρα, λοπάδιον, ὀξίς, χοῦς, ἁμίς, λεκάνη, θυΐα, κάνθαρος, σείσων, λύχνος.

book 3.1 [spk_β]B. ὑπηρεσία

book 3.2 σοι

book 3.3 παντελής, γραῦ, κεραμίων.

book 1.1 Ὅταν δανείζῃ τις

book 1.2 πονηρῷ χρήματα ἀνήρ, δικαίως ἀντὶ τῶν τόκων ἔχει λύπας.

Eulogikon public reading copy · View original HTML at eulogikon.org